43. Σπαρτιάτης ἐρωτηθεὶς εἰ ἀσφαλὴς ἡ εἰς Σπάρτην ὁδὸς εἶπεν ‘ὁποῖος † καθίσῃς· οἱ μὲν γὰρ λέοντες βαδίζοντι ὅπα κα λέωντι, τὼς δὲ λαγὼς ἐπὶ τᾷ σκηνᾷ θηρεύομες.’

44. Ἐν χειραψίᾳ περικρούοντος τοῦ προστραχηλίζοντος κενοσπούδως καὶ κατασπῶντος ἐπὶ τὴν γῆν, ἐπειδὴ τῷ σώματι ἐλείπετο ὁ προσπεσών, ἔδακε τὸν βραχίονα· καὶ
E ὁ ἕτερο ϛεῖπε ‘δάκνεις, ὦ Λάκων, ὥσπερ αἱ γυναῖκες·’ ‘οὐ μὲν οὖν’ εἶπεν ἅτερος, ‘ἀλλ’ ὥσπερ οἱ λέοντες.’

45. Χωλὸς ἐπὶ πόλεμον ἐξιών, ἐπακολουθούντων αὐτῷ τινων καὶ διαγελώντων, ἐπιστραφεὶς εἶπε ‘κακαὶ κεφαλαί, οὐ φεύγοντα δεῖ τοῖς πολεμίοις μάχεσθαι, ἀλλὰ μένοντα καὶ τὴν τάξιν φυλάττοντα.’

46. Ἕτερος τοξευθεὶς καὶ ἐκλείπων τὸν βίον οὐχὶ τοῦτο ἔφησεν αὐτῷ μέλειν, ὅτι ἀποθανεῖται, ἀλλ’ ὅτι ὑπὸ γύννιδος τοξότου καὶ μηδὲν πράξας.

47. Εἰς πανδοκεῖόν τις καταλύσας καὶ δοὺς ὄψον τῷ